# TEZAUR LITURGIC

## 26 NOIEMBRIE

# SLUJBA SF.CUVIOS ACACHIE SINAITUL

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΑΚΑΚΙΟΥ ΤΟΥ ΕΝ ΤΗ ΚΛΙΜΑΚΙ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εις το Κύριε εκέκραξα ιστώμεν στίχους δ’ και ψάλλομεν τα εξής Στιχηρά Προσόμοια. Ήχος α’. Των ουρανίων ταγμάτων.

Τον εν τω Λάτρω αθλήσαντα υπέρ άνθρωπον, Ακάκιον τιμώμεν, ταπεινώσεως τύπον, στύλον μοναζόντων και βιαστών, βασιλείας το πρότυπον, υπακοής ακροθίνιον θαυμαστόν, και μαρτύρων εγκαλλώπισμα.

Των μοναχών αι χορείαι σεπτώς ευφραίνονται, Ακάκιον ορώσαι, μετά δήμων Αγγέλων, άδοντα συν τούτοις, θεοπρεπώς, τω Αρνίω και λέγοντα˙ τους υπακούοντας σώσον Υιέ Θεού, ως καμέ Λόγε Φιλάνθρωπε.

Υπακοής το υπόδειγμα επαινέσωμεν, Ακάκιον τον θείον, μοναχών μέγα κλέος, κόσμον ασκουμένων και αθλητών, ταπεινώσεως πρότυπον, της ακακίας υπόδειγμα ακριβές, και συγγνώμης θείον άγαλμα.

Της ησυχίας το άνθος ανευφημήσωμεν, Ακάκιον εν ύμνοις, αρετής προβολέα, στήριγμα μαρτύρων και μοναχών, και σωτήρα του Γέροντος, καθυπομείναντα τούτου τους αικισμούς, μέχρι βίου τελειώσεως.

Δόξα. Ήχος β'.

Δεύτε των μοναστών τα στίφη, το της αδιακρίτου και τυφλής υπακοής πανθαύμαστον υπόδειγμα, Ακάκιον τον τρισόλβιον, ύμνοις εγκωμίων ανυμνήσωμεν. Ούτος γαρ ευρύχωρον του Αγίου Πνεύματος δοχείον γενόμενος, και την του Γέροντος αυτού βιαιότητα μέχρις αίματος καθυπομείνας, της ουρανίου βασιλείας κατηξιώθη. Αυτού ταις πρεσβείαις, δια της των θείων προσταγμάτων αποδοχής, και πιστής αυτών τηρήσεως, και ημείς του αιωνίου σαββατισμού αξιωθείημεν.

Και νύν. Θεοτοκίον. Ήχος ο αυτός.

Την πάσαν ελπίδα μου, εις σε ανατίθημι, Μήτερ του Θεού φύλαξόν με υπό την σκέπην σου.

Εις τον Στίχον Στιχηρά Προσόμοια.

Ήχος β'. Οίκος του Εφραθά.

Δεύτε περιχαρώς, τιμήσωμεν εν ύμνοις, Ακάκιον τον θείον, υπακοής τελείας, υπόδειγμα πανθαύμαστον.

Μακάριος ανήρ ο φοβούμενος τον Κύριον.

Τέκνον υπακοής, Ακάκιον τιμώμεν, τυφλής και υπέρ λόγον, δι' αίματος λαβόντα, το Πνεύμα το Πανάγιον

Τίμιος εναντίον Κυρίου ο θάνατος του Οσίου αυτού.

Άριστον οδηγόν, των μοναχών και τύπον, Ακάκιον εν λόγοις, τιμήσωμεν ενθέως, ως όσιον και μάρτυρα.

Δόξα. Τριαδικόν. Όμοιον.

Λόγον συν τω Πατρί, και Πνεύματι Αγίω, τιμήσωμεν εν πίστει, μονάδα κατ’ ουσίαν, Θεόν τον Παντοκράτορα.

Και νύν. Θεοτοκίον.

Πάναγνε Μαριάμ, σαρκώσασα τον Λόγον, λιταίς του Ακακίου, περίσκεπε ως Μήτηρ, των μοναχών τα τάγματα.

Νύν απολύεις, το Τρισάγιον, το Απολυτίκιον εκ του Μεγάλου Εσπερινού και Απόλυσις.

**ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ**

Μετά τον Προοιμιακόν, το Μακάριος ανήρ, εις δε το Κύριε εκέκραξα, ιστώμεν στίχους ς’ και ψάλλομεν στιχηρά προσόμοια.

Ήχος δ’. Ως γενναίον εν μάρτυσιν.

Εγκρατεία το φρόνημα, της σαρκός απενέκρωσας, και ψυχήν εζώωσας δι’ ασκήσεως, και αρετών τελειότητος, εντεύθεν και ώφθης, ως ζών, μετά τέλος αληθώς, ως γαρ ύπνος λελόγισται, σοι ο θάνατος, προς Θεόν μεταστάντι και εις χείρας, την ψυχήν παραθεμένω, αυτού Ακάκιε ένδοξε. (δις).

Των παθών κατεκοίμησας, τας ορέξεις Ακάκιε, αγρυπνίαν πάννυχον ως κτησάμενος, υπακοήν και ταπείνωσιν, μελέτην τε θείων Γραφών, και καρδίαν καθαράν, και νουν ανεπιθόλωτον˙ όθεν γέγονας, και δοχείον του Πνεύματος Αγίου, τας ακτίνας των θαυμάτων, εναπαστράπτων τοις πέρασι.

Την του κόσμου προσπάθειαν, παντελώς βδελυξάμενος, απαθείας όργανον εχρημάτισας, φιλοσοφίας δε ένδοξε, εμπράκτω οχήματι, ανυψώθης προς αυτό, εφετόν το ακρότατον, και κατώπτευσας, μυστική θεωρία αθεάτων, τα αμήχανα και θεία, κάλλη Ακάκιε πάνσοφε.

Ακακίας επώνυμος, πεφυκώς δια πράξεως, αληθώς Ακάκιε εχρημάτισας, έργω τε λόγον πιστούμενος, ως κλήσιν κατάλληλον, φερωνύμως αληθώς, εκ προνοίας της άνωθεν˙ τη γαρ κλίμακι, αρετών των ενθέων κεχρημένος, ύψος έφθασας της άνω, υπερκοσμίου λαμπρότητος.

Μοναχών το υπόδειγμα, αθλητών το αγλάισμα, εν ωδαίς τιμήσωμεν, τον Ακάκιον, υπακοής θείον πρότυπον, αγάπης το άγαλμα, ταπεινώσεως Χριστού, εγκαλλώπισμα ένθεον, οδηγήσαντα, τον αυτόν θανατώσαντα εις νήψιν, τον φωνήσαντα εκ τάφου, τον εν τη Κλίμακι ένδοξον.

Δόξα. Ήχος πλ. β'.

Τον Χριστού εραστήν, τον επώνυμον της ακακίας, των μοναστών οι χοροί συνελθόντες ανευφημήσωμεν. Ούτος γαρ των εν Ευαγγελίω του Κυρίου ρημάτων ακούσας, φρονήσει τε και ακεραιότητι υπερέλαμψε, προπηλακισμούς και αικίας, γενναιοφρόνως υπενεγκών, και υπακοήν μέχρι τέλους ακριβώς ενδειξάμενος˙ όθεν και επαξίως αυτόν ημείψατο πλουσίαις δωρεαίς, αυτός ο Χριστός, και σωτήρ των ψυχών ημών.

Και νύν. Θεοτοκίον. Ήχος ο αυτός.

Τίς μη μακαρίσει σε, Παναγία Παρθένε; Τίς μη ανυμνήσει σου τον αλόχευτον τόκον; Ο γαρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σου της Αγνής προσήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, και φύσει γενόμενος άνθρωπος δι’ ημάς˙ ούκ εις δυάδα προσώπων τεμνόμενος, άλλ’ εν δυάδι φύσεων, ασυγχύτως γνωριζόμενος. Αυτόν ικέτευε, σεμνή Παμμακάριστε, ελεηθήναι τας ψυχάς ημών.

Είσοδος. Το Προκείμενον της ημέρας και τα Αναγνώσματα.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (Κεφ. 3, 1-9).

Δικαίων ψυχαί εν χειρί Θεού, και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, και ελογίσθη κάκωσις η έξοδος αυτών, και η αφ’ ημών πορεία σύντριμμα, οι δε εισιν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες μεγάλα ευεργετηθήσονται. Ότι ο Θεός επείρασεν αυτούς, και εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι, και ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, και κρατήσουσι λαών, και βασιλεύσει αυτών Κύριος εις τους αιώνας˙ οι πεποιθότες επ’ αυτώ, συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ˙ ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος το Ανάγνωσμα.(Κεφ. 5, 15-23 κ 6, 1-3).

Δίκαιοι εις τον αιώνα ζώσι, και εν Κυρίω ο μισθός αυτών, και η φροντίς αυτών παρά Υψίστω. Δια τούτο λήψονται το βασίλειον της ευπρεπείας, και το διάδημα του κάλλους εκ χειρός Κυρίου, ότι τη δεξιά αυτού σκεπάσει αυτούς, και τω βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν, τον ζήλον αυτού, και οπλοποιήσει την κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα δικαιοσύνην˙ και περιθήσεται κόρυθα, κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα, οξυνεί δε απότομον οργήν εις ρομφαίαν˙ συνεκπολεμήσει αυτώ ο κόσμος επί τους παράφρονας. Πορεύσονται εύστοχοι βολίδες αστραπών, και ως από ευκύκλου τόξου, των νεφών, επί σκοπόν αλούνται, και εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ’ αυτών ύδωρ θαλάσσης, ποταμοί δε συγκλύσουσιν αποτόμως˙ αντιστήσεται αυτοίς πνεύμα δυνάμεως, και ως λαίλαψ εκλικμήσει αυτούς. Και ερημώσει πάσαν την γην ανομία, και η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ούν, βασιλείς, και σύνετε˙ μάθετε, δικασταί περάτων γης˙ ενωτίσασθε, οι κρατούντες πλήθους και γεγαυρωμένοι επί όχλοις εθνών. Ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, και η δυναστεία παρά Υψίστου.

Σοφίας Σολομώντος το Ανάγνωσμα.(Κεφ. 4, 7-15).

Δίκαιος εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γαρ τίμιον ου το πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δε έστι φρόνησις ανθρώποις, και ηλικία γήρως βίος ακηλίδωτος.

Ευάρεστος Θεώ γενόμενος ηγαπήθη˙ και μεταξύ αμαρτωλών μετετέθη. Ηρπάγη, μη κακία αλλάξη σύνεσιν αυτού, ή δόλος απατήση ψυχήν αυτού˙ βασκανία γαρ φαυλότητος αμαυροί τα καλά, και ρεμβασμός επιθυμίας μεταλλεύει νουν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς˙ αρεστή γαρ ην Κυρίω η ψυχή αυτού, δια τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δε λαοί ιδόντες και μη νοήσαντες, μηδέ θέντες επί διανοία το τοιούτον˙ ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ.

ΙΔΙΟΜΕΛΑ Ήχος α’.

Δεύτε πιστοί επί τη μνήμη του ανεξικάκου Ακακίου, του κλεΐσαντος τον της αδιακρίτου και τυφλής υπακοής όρον, πνευματικώς ευφρανθέμεν, βοώντες προς αυτόν˙ Χαίροις των μοναζόντων ακριβέστατος κανών, και των αθλουμένων θεοδώρητον πρότυπον. Χαίροις της υπακοής το τέλειον υπόδειγμα, και την θυσίας ο απλανής οδηγός. Χαίροις ο εκ τάφου κηρύξας μετάνοιαν, και των εν πνευματική νεκρώσει αφορμή λυτρώσεως γεγονώς. Λιταίς Κύριε του Αγίου σου Ακακίου, λύτρωσαι πάντας ημάς εκ των παθών ημών.

Ήχος β’.

Ασκήσεως αίγλη φαιδρύνας το σώμα και την ψυχήν, απαθεία τον νουν καθηράμενος, δοχείον εγένου του Αγίου Πνεύματος Όσιε. Διο

και νυν παριστάμενος τω θρόνω Χριστού του Θεού, αυτόν εκτενώς εκδυσώπει, ελεηθήναι τας ψυχάς ημών.

Ήχος, ο αυτός.

Εί και εν τάφω νεκρός υπάρχων, κατά νόμον θανόντων κατέκεισο, αλλά τω πυθομένω παραδόξως εφθέγξω το, ως ου τέθνηκας Όσιε. Ού θνήσκουσι μεν, Θεώ δε ζώσιν οι θείως ζήσαντες.

Ήχος, ο αυτός.

Άλλος Ιακώβ ανεδείχθης, πάτερ Ακάκιε, τω απλάστω της γνώμης κατηγλαϊσμένην έχων σου την ψυχήν˙ διο και ως εκείνος θεόθεν διαφερόντως ηγάπησας, και εν τοις εκείνου αναπαύη νυν κόλποις. Αγγέλων συνόμιλος, Δικαίων ομόσκηνος γενόμενος και Οσίων˙ μεθ' ών μη διαλείπης πρεσβεύων Χριστώ τω Θεώ, υπέρ ημών των υμνούντων σε.

Ήχος δ'.

Η του Ακακίου επέλαμψεν εορτή˙ δεύτε σήμερον αυτόν φαιδρώς πανηγυρίσωμεν, των μοναστών τα συστήματα˙ πάσαν γαρ συλλαβών είχεν εν εαυτώ αρετήν ο αοίδιμος˙ διο και ακηράτοις στεφάνοις την ιεράν αυτού κορυφήν ο στεφοδότης Χριστός εστεφάνωσεν, ώ και πρεσβεύει υπέρ των ψυχών ημών.

Ήχος, ο αυτός.

Όντως εν χειρί του Θεού, αι ψυχαί υπάρχουσι των Δικαίων, ως ο Σολομών απεφήνατο, και ο θάνατος αυτών ούχ άπτεται το παράπαν˙ τούτο δε και ο αξιάγαστος πύκτης Ακάκιος, νεύματι προσεπεκύρωσε θείω˙ νεκρός γαρ ούτος κείμενος εν μνημείω νόμω

θανόντων, τω πυθομένω ώσπερ ζων προσεφώνησεν ου τέθνηκα έγωγε, αλλά ζω εν Χριστώ, καθά και πάντες οι θείως βιοτεύσαντες.

Δόξα. Ήχος πλ. α'.

Τους δερματίνους χιτώνας, ους ενέδυσε πρώην την φύσιν ημών η του Πρωτοπλάστου παράβασις, υπακοή διαρρήξας, και τη του Πνεύματος τεκτονία ανακαινίσας σαυτόν, την θεοΰφαντον ενεδύσω στολήν πάτερ Ακάκιε˙ μεθ' ης εν ουρανοίς αυλιζόμενος, και περιχορεύων Χριστώ τω Δεσπότη σου, μνημόνευε και ημών, των εν πίστει τελούντων σου τα μνημόσυνα.

Και νύν. Θεοτοκίον. Ήχος ο αυτός.

Μακαρίζομέν Σε Θεοτόκε Παρθένε, και δοξάζομέν Σε οι πιστοί κατά χρέος, την πόλιν την άσειστον, το τείχος το άρρηκτον, την αρραγή προστασίαν, και καταφυγήν των ψυχών ημών.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ.

ΣΤΙΧΗΡΑ ΠΡΟΣΟΜΟΙΑ. Ήχος δ'. Έδωκας σημείωσιν.

Ποίμνην την τιμώσάν σε, και μετά πόθου γεραίρουσαν, περιέποις εκάστοτε, την πανσεβάσμιον, εορτήν παμμάκαρ, εκ βλάβης παντοίας, και επηρείας ορατών, και αοράτων εχθρών πρεσβείαις σου, πατήρ ημών Ακάκιε, και δια τούτο δοξάζει σε, καρτερόψυχε όσιε, πρεσβευτά των ψυχών ημών.

Στίχ: Τίμιος εναντίον Κυρίου ο θάνατος του οσίου αυτού.

Άπνους κατακείμενος, νόμω θανόντων εν μνήματι, συ εφθέγξω μακάριε, ως ζων τω λαλήσαντι, λίαν παραδόξως, ου τέθνηκα λέγων, ζω δε αεί εν τω Χριστώ, συμβασιλεύων αυτώ αιώνια˙ διο και

εορτάζοντες, την πανσεβάσμιον μνήμην σου, μετά πόθου δοξάζομεν, τον σε δοξάσαντα Κύριον.

Στίχ: Μακάριος ανήρ ο φοβούμενος τον Κύριον.

Έφερες στερρότατα, τας ατιμίας εκάστοτε, θεοφόρε Ακάκιε, πληγάς τε του σώματος, ευχαρίστως μάκαρ, μνήμην του θανάτου, διηνεκώς εμμελετών, και καθ’ εκάστην επαυξανόμενος, μεγίσταις αναβάσεσι, προς εφετόν το ακρότατον˙ όθεν πάτερ και έφθασας επ’ αυτήν την ακρώρειαν.

Δόξα. Ήχος πλ. δ’.

Εις πάσαν διέδραμε την υπ’ ουρανόν, ο των κατορθωμάτων σου φθόγγος, ως από κέντρου κυκλικού, της εν Ασία Μονής, της των Κελλιβάρων, εν η το αοίδιμον και καρτερικόν σου σώμα, περιόν έτι τω βίω ηγώνισται, πατήρ ημών Ακάκιε˙ διο και σήμερον άπας ο των μοναζόντων χορός, μετά πίστεως αθροισθέντες, ο μεν σου το εχέφρον, ο δε το της γνώμης ακέραιον, άλλος δ’ αύ πάλιν το της ψυχής καρτερικόν, το της υπακοής απαράμιλλον έτερος, οι πάντες άπαντα τα σα σεπτά προτερήματα υπεράγαν εκθειάζοντες, τον των αγαθών δοτήρα δοξάζουσι Χριστόν τον Θεόν, τον τοσαύταις χαρίτων αγλαΐαις την ιεράν σου ψυχήν καταλαμπρύναντα.

Και νύν. Θεοτοκίον. Ήχος ο αυτός.

Δέσποινα πρόσδεξαι, τας δεήσεις των δούλων Σου, και λύτρωσαι ημάς, από πάσης ανάγκης και θλίψεως.

ΑΠΟΛΥΤΙΚΙΟΝ Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Εώας εξήστραψας ώσπερ αστήρ φαεινός, και πάντας εφαίδρυνας των μονοτρόπων χορούς, Ακάκιε όσιε, αίγλη των αρετών σου, και διήγειρας τούτους, άνθεσιν εγκωμίων, καταστέφειν συν πόθω, την σην φαιδράν και σεπτήν, και πάντιμον μνήμην οσυ.

Θεοτοκίον.

Το απ' αιώνος απόκρυφον, και Αγγέλοις άγνωστον μυστήριον, δια σου Θεοτόκε τοις επί γης πεφανέρωται, Θεός εν ασυγχύτω ενώσει σαρκούμενος, και Σταυρόν εκουσίως υπέρ ημών καταδεξάμενος˙ δι' ού αναστήσας τον πρωτόπλαστον, έσωσεν εκ θανάτου τας ψυχάς ημών.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Το Θεός Κύριος και τα Απολυτίκια, ως εις τον Εσπερινόν.

Μετά την α' στιχολογίαν. Κάθισμα. Ἦχος α'. Τον τάφον σου Σωτήρ.

Ως άλλος Ιακώβ, ανεδείχθης τρισμάκαρ, Ακάκιε στερρέ, τω της γνώμης ακάκω, διο και δεδόξασαι, προς Χριστού του Δεσπότου σου, και αυλίζεις νύν, εν ουρανοίς γηθοσύνως, συν Αγγέλοις τε, και των οσίων τοις δήμοις, δικαίοις και μάρτυσι.

Δόξα, το αυτό. Και νύν. Θεοτοκίον, όμοιον.

Μητέρα σε Θεού, επιστάμεθα πάντες, Παρθένον αληθώς, και μετά τόκον φανείσαν, οι πόθω καταφεύγοντες, προς την σην αγαθότητα˙ σε γαρ έχομεν, αμαρτωλοί προστασίαν, σε κεκτήμεθα, εν πειρασμοίς σωτηρίαν, την μόνην πανάμωμον.

Μετά την β’ στιχολογίαν. Κάθισμα. Ήχος δ’. Ταχύ προκατάλαβε.

Εξήλθες του μνήματος, και μετά πότμον ευθύς, υπήκοος άριστος, υπερφυώς ώσπερ ζών, Ακάκιε όσιε, γέγονας τη κελεύσει, του συνάθλου σου όθεν, Κύριος ο Θεός σου, σε μετέστησε πάτερ, όπου οι των Δικαίων δήμοι αναπαύονται.

Δόξα, το αυτό. Και νύν. Θεοτοκίον, όμοιον.

Ταχύ δέξαι Δέσποινα, τας ικεσίας ημών, και ταύτας προσάγαγε τω σω Υιώ και Θεώ, Κυρία Πανάχραντε, λύσον τας περιστάσεις, των εις σε προστρεχόντων, σύντριψον μηχανίας, και κατάβαλε θράσος, των οπλιζομένων Παρθένε κατά των δούλων σου.

Μετά τον Πολυέλεον. Κάθισμα. Ήχος δ’. Επεφάνης σήμερον.

Την ψυχήν σου Όσιε, καταφαιδρύνας, αρετών λαμπρότησι, τανύν παρίστασαι Χριστώ, εν παρρησία δεόμενος, υπέρ των πίστει και πόθω τιμώντων σε.

Δόξα, το αυτό. Και νύν. Θεοτοκίον, όμοιον.

Προστασία άμαχε, των θλιβομένων, και θερμή αντίληψις, των πεποιθότων επί σε, προκινδυνεύοντα ρύσαί με˙ συ γαρ υπάρχεις η πάντων βοήθεια.

Οι Αναβαθμοί. Το πρώτον Αντίφωνον του δ’ ήχου.

Το Προκείμενον.

Τίμιος εναντίον Κυρίου ο θάνατος του οσίου αυτού (δις).

Στίχ: Τι ανταποδώσωμεν τω Κυρίω...

Το Πάσα πνοή, Ευαγγέλιον Οσιακόν και ο Ν’.

Δόξα.

Ταις του σου Οσίου, πρεσβείαις Ελεήμον, εξάλειψον τα πλήθη, των εμών εγλημάτων.

Και νύν.

Ταις της Θεοτόκου, πρεσβείαις Ελεήμον, εξάλειψον τα πλήθη, των εμών εγκλημάτων.

Στίχ: Ελέησόν με ο Θεός κατά το μέγα έλεός σου, και κατά το πλήθος των οικτιρμών σου εξάλειψον το ανόμημά μου.

Ήχος πλ. β'.

Βρώσει δια της παρακοής ο προπάτωρ, παραδείσου γέγονεν άποικος, νηστεία δε δια της υπακοής παράδεισον ώκησεν, ο μέγας ως αληθώς πύκτης. Ακάκιος˙ ένθα νυν αυλιζόμενος, και τα κάλλη εκείνου κατατρυφών, πρεσβεύει απαύστως Κυρίω εις το σωθήναι τας ψυχάς ημών.

ΚΑΝΟΝΕΣ

Ο Κανών της Θεοτόκου εις ς' και του Οσίου εις η'.

Και ευθύς αρχόμεθα του Κανόνος της Θεοτόκου.

Ωδή α'. Ήχος δ'. Θαλάσσης το ερυθραίον.

Δακρύων επιρροάς παράσχου μοι, Θεογεννήτρια, δι' ών δακρύων πείραν εν πυρί, της γεέννης εκφεύξομαι˙ συ γαρ αγνή παν δάκρυον, από προσώπου της γης έπαυσας.

Αφθάρτου και ζωηρού χωρίου με, πολίτην τέθεικεν,ο πλαστουργός μου άρχων κατ' αρχάς, των εν γη πάντων τάξας με, άλλ' ο εχθρός φθονήσας μοι, πόθω θεώσεως κατέβαλε.

Κρατήρα θανατηφόρον πάλαι μοι, Εύα κεκέρακε˙ συ δε Αγνή τεκούσα της ζωής, βότρυν γλεύκός μοι έβλυσας, αθανασίας οίνόν τε, πιστών καρδίας τον ευφραίνοντα.

Υπέρτερον ουρανού Σε σκήνωμα, και γης πλατύτερον, ο ουρανού και γης δημιουργός, Θεοτόκε ειργάσατο, ως λογικόν και έμψυχον, εν γη παράδεισον ανέδειξε.

Είτα ο Κανών του Οσίου, ου η ακροστιχίς: «Ακάκιον τον άριστον υπήκοον άσμασιν άδω. Θεοφάνους».

Ήχος και ειρμός ο αυτός.

Ακάκω γνώμη θέοφρον χρώμενος, την αγαθότυπον, των αρετών εκτήσω καλλονήν, του Χριστού την εκούσιον, υπακοήν μιμούμενος, μέχρι θανάτου παμμακάριστε.

Κακίας τον ευρετήν κατήσχυνας τη ακακία σου, υπομονή τε Πάτερ πειρασμών, την αυτού υπερήφανον, και επηρμένην άνοιαν, προς γην παμμάκαρ εταπείνωσας.

Ασκήσει καρτερωτάτη Όσιε, προγυμναζόμενος, και των παθών εκτέμνων τας ορμάς, απαθείας ενδύματι, κατεκοσμήθης ύστερον, χάριτι θεία σκεπαζόμενος.

Κρατύνας την της ψυχής κατάστασιν, υπομονή καρτερά, και σταθερώ παμμάκαρ λογισμώ καθ’ ημέραν υπέμεινας, μαρτυρικόν αγώνισμα, και στεφανίτης αναδέδειξαι.

Θεοτοκίον.

Ισχύς μου ποιητική και ύμνησις, Θεός και Κύριος, ο δι’ ημάς εκ Σου σωματωθείς, και τεχθείς της προφήτιδος, ως Ησαΐας Πάναγνε, προφφητικώς ευηγγελίσατο.

Καταβασία: Χριστός γεννάται.

Ωδή γ’. Ευφραίνεται επί σοι.

Ρυόμενος τους βροτούς, ο συμπαθής εκ της Αγνής τίκτεται, εν Βηθλεέμ σπάργανα, νήπιον καθάπερ δεχόμενος.

Χωρίον χωρητικόν, του αχωρήτου πλαστουργού γέγονας, τούτον σαρκί χωρήσασα, Κεχαριτωμένη πανάμωμε.

Σύ μόνη τοις επί γης, των υπέρ φύσιν αγαθών πρόξενος, μήτηρ Θεού γέγονας˙ όθεν σοι το χαίρε προσάγομεν.

Κυρίως και αληθώς, σε Θεοτόκον πιστοί σεβόμεθα˙ συ γαρ Θεόν τέτοκας, σάρκα γεγονότα πανάμωμε.

Του Οσίου.

Ολόκληρον σεαυτόν, τω Ποιητή σου και Θεώ Όσιε, ανατεθείς έφερες, τιμωρητικήν εξουδένωσιν.

Νομίμως αθλητικήν, την καρτερίαν ασκητά έδειξας, επί της γης όθεν σοι, η εν ουρανοίς τέρψις δέδοται.

Ταπείνωσιν αληθή, μακροθυμίαν ακριβή ήσκησας, υπομονήν εγκράτειαν, δι’ υπακοής παμμακάριστε.

Θεοτοκίον.

Ο πάντων Δημιουργός, δημιουργείται δι᾽ ημάς Πάναγνε, σάρκα λαβών έμψυχον, εκ σου Παναγία θεόνυμφε.

Καταβασία: Τω προ των αιώνων.

Κάθισμα. Ήχος δ'. Ταχύ προκατάλαβε.

Λαμπρότητι πίστεως, και τω των έργων φωτί, εδείχθης ισάγγελος, επί της γης αληθώς, Ακάκιε πάνσοφε, έδειξας εν ανδρεία, το στερρόν του νοός σου, έτρεψας παρατάξεις, των παθών εν ασκήσει, διο και μετά τέλος ως ζων ώφθης αήττητε.

Δόξα, το αυτό. Και νύν. Θεοτοκίον, όμοιον.

Πολλοίς πλημμελήμασιν, εγώ ο άσωτος, τον νουν σκοτιζόμενος, επιβοώμαι την σην, βεβαίαν αντίληψιν, φώτισον Θεοτόκε, της ψυχής μου τας κόρας, λάμψον μοι μετανοίας, το λαμπρότατον φέγγος, και ένδυσόν με όπλα του φωτός Παννάμωμε.

Ωδή δ'. Επαρθέντα σε ιδούσα η Εκκλησία.

Απειρογάμως εκύησας ώ Παρθένε, και μετά τόκον ώφθης παρθενεύουσα πάλιν˙ όθεν ασιγήτοις φωναίς˙ το χαίρέ σοι Δέσποινα, πίστει αδιστάκτω κραυγάζομεν.

Αγιάσματος υπάρχουσα θείος οίκος, του κενωθέντος άχραντε επ' ευεργεσία, του ιδίου πλάσματος, ψυχήν μου αγίασον, και τον λογισμόν φωταγώγησον.

Ριπιζόμενον τη λαίλαπι της κακίας, τον λογισμόν μου Δέσποινα, και τη αμελεία όλον βυθιζόμενον, πρεσβείας σου στήριξον, και των συμπτωμάτων εξάρπασον.

Το παλάτιον Παρθένε του Βασιλέως, τον ουρανόν τον έμψυχον, νυν εκδυσωπώ σε, οίκον της Τριάδος με, ευχαίς σου ανάδειξον, σπήλαιον ληστών χρηματίσαντα.

Του Οσίου.

Νεκρώσας πάτερ το φρόνημα της σαρκός σου, την σην ψυχήν εζώωσας, και δικαιοσύνης στέφανον απείληφας, κραυγάζων Ακάκιε˙ δόξα τη δυνάμει σου Κύριε.

Αγώνας μακρύς ανύων τους καθ’ ημέραν καρτερικήν εδείκνυες, την ένστασιν Πάτερ˙ όθεν μετά θάνατον, ως ζων ανεβόησας˙ δόξα τη δυνάμει σου Κύριε.

Ρωμαλέω τω φρονήματι τας βασάνους, δια Χριστόν υπέμεινας Ακάκιε μάκαρ, τούτον φανταζόμενος, σταυρώ προσηλούμενον, δια σωτηρίαν του γένους ημών.

Θεοτοκίον.

Ιερωτέρα υπάρχεις των ουρανίων, και νοερών δυνάμεων, ως τούτων τον Κτίστην πάναγνε κυήσασα˙ διο σοι κραυγάζομεν˙ χαίρε Θεοτόκε πανύμνητε.

Καταβασία: Ράβδος εκ της ρίζης.

Ωδή ε’. Σοι Κύριέ μου φως.

Παράδεισος ζωής, Θεοτόκε υπάρχουσα, θάνατον της αμαρτίας, και παθών πολυτρόπων, εκλύτρωσαι τους δούλους σου.

Αλάβαστρον Αγνή, νοητόν συ υπάρχουσα, του μύρου του κενωθέντος επί γης ουρανόθεν, καμέ νυν ευωδίασον.

Ρεύσαντα προς φθοράν, ανεκτήσω τον άνθρωπον, δια του θείου σου τόκου, και της πριν αφθαρσίας, Παρθένε κατηξίωσας.

Ως ούσα Χερουβείμ, Σεραφείμ υπερτέρα τε, πανάχραντε Θεοτόκε, την ψυχήν μου φωτί σου, τω θείω καταλάμπρυνον.

Του Οσίου.

Σύ Όσιε πληγαίς, ανδρικώς αικιζόμενος, και μάστιγας καθ' ημέραν, υποφέρων ευτόνως, οσίως αναπέπαυσαι.

Τον δρόμον τον καλόν, εκτελέσας Ακάκιε, την άκακον και καμάτων, ελευθερίαν και πόνων, απέλαβες ανάπαυσιν.

Ο νούς σου καθαρώ, λογισμώ κυβερνώμενος, Ακάκιε θεοφόρε, προς τον αίτιον πάντων, ευστόχως εγκαθώρμισται.

Θεοτοκίον.

Νους και αγγελικός, ούκ ισχύει Πανάμωμε, τον τόκον σου ερμηνεύσαι υπερβαίνει γαρ πάσαν, κατάληψιν και έννοιαν.

Καταβασία: Θεός ών ειρήνης.

Ωδή ς' . Θύσω σοι μετά φωνής.

Θανάτου αναιρέτης, ο τόκος σου γέγονεν, ως των θανόντων Παρθένε, και ζωή και λύτρωσις˙ δια τούτο δυσωπώ σε, την ψυχήν μου θανούσαν ανάστησον.

Έκτεινον, βοηθείας μοι χείρα φιλάνθρωπε, εν τω πελάγει του βίου, κλυδωνιζομένω ταις ικεσίαις, της μητρός σου, και των άνω απείρων δυνάμεων.

Η χώρα, η τον θείον βλαστήσασα άσταχυν, την εκτακείσαν ψυχήν μου, και λιμώ των θείων εκτηκομένην, μη παρίδης, αλλά θρέψον, του Υιού σου ενθέοις χαρίσμασιν.

Ώ θαύμα, των απάντων θαυμάτων καινότερον, ότι Παρθένος εν μήτρα, τον τα σύμπαντα περιέποντα, απειράνδρως, συλλαβούσα ούκ εστενοχώρησε.

Του Οσίου.

Ύπνωσις, τον μακάριον ύπνον Ακάκιε, και μετά θάνατον ώφθης, υπακούων πάτερ τοις ερωτώσιν, ως ού θνήσκει ο της υπακοής αντεχόμενος.

Πληρώσας, τους καλλίστους αγώνας φερώνυμε, της ακηράτου θεόφρον, ηξιώθης όντως αθανασίας, ένθα χαίρων, τους στεφάνους της νίκης απέλαβες.

Η θεία, και καλή και θεάρεστος άσκησις, της πολιτείας σου μάκαρ, τους πολλούς στηρίζει τω θείω φόβω, και τω πόθω, αγαθών των μελλόντων Ακάκιε.

Θεοτοκίον.

Κυρίως, Θεοτόκον σε πίστει δοξάζομεν, ως τον Θεόν συλλαβούσαν, και τεκούσαν τούτον απειρογάμως, ενωθέντα, τω εκ σου προσληφθέντι αγίω ναώ.

Καταβασία: Σπλάγχνων Ιωνάν.

Κοντάκιον. Ήχος δ’. Επεφάνης σήμερον.

Ώφθης στήση έμψυχος, της καρτερίας, και πυρσός αείφωτος, υπακοής ως αληθώς, τοις μονοτρόποις πανόλβιε˙ διο υπνούμεν, την πάνσεμνον μνήμην σου.

Ο Οίκος.

Τον ακακίας επώνυμον δεύρο δήμοι, των μοναστών η πληθύς, συνελθόντες μετά πόθου τιμήσωμεν˙ ου μόνον γαρ το ακέραιον της γνώμης διαφερόντως επλούτει ο μακάριος, αλλά γε και το καρτερικόν της ψυχής˙ διο και προπηλακισμούς, και αικίας έφερε

καθ’ εκάστην στερρότατα, και υπακοήν άκραν περιών τε, και μετά πότμον ενεδείξατο, τω πυθομένω φθεγξάμενος˙ αδύνατον είναι τεθνάναι τους υπακοής εργάτας˙ και τη του μοναστού είξας κελεύσει, και κενόν του ιδίου σώματος το μνήμα καταλιπών, θεόθεν υπερφυώς μεταστάς, και τω θρόνω παρεστώς Χριστού του Θεού, ώ και παρρησία τυγχάνει, δεόμενος υπέρ των πίστει, και πόθω τελούντων την πάνσεπτον μνήμην αυτού.

Συναξάριον.

Τω αυτώ μηνί κς’ μνήμη του οσίου πατρός ημών Ακακίου του εν τη Κλίμακι.

Στίχ: Άκακος Ακάκιος εξελθών βίον.

Εισήλθεν άλλον προς βίον των Αγγέλων.

Εβδομάτη Ακάκιος οιζυρόν ούτον άλυξε.

Ωδή ζ’. Εν τη καμίνω.

Το θείον Όρος, εξ ου ο λίθος εκτέτμηται, Κόρη ο συντρίψας, στήλας δαιμονικάς, της ψυχής μου τα ιδάλματα, και της καρδίας μου την λιθώδη, απέλασον πόρωσιν.

Ούκ εσαλεύθης, ως δεξαμένη εν τη μήτρα σου, Κόρη τον προσβλέψει γην και τα εν αυτή, ότε βούλεται σαλεύοντα˙ διο με στήριξον ταις προσβολαίς, εχθρού σαλευόμενον.

Καταβαλούσα, τα σαρκικά μου φρονήματα, όλον Θεοτόκε δείξον πνευματικόν, αρεταίς κατακοσμούσά με, ον ο παμπόνηρος, ηδονών ακοσμία ημαύρωσε.

Νενκρωμένην, την ανθρωπίνην φύσιν ήγειρας, μόνη συ ζωήν αθάνατον τον Χριστόν, θεομύμφευτε γεννήσασα˙ ευλογημένη συ εν γυναιξίν, υπάρχεις πανάμωμε Δέσποινα.

Του Οσίου.

Όλω τω πόθω, προς τον Δεσπότην επειγόμενος, ύβρεις ατιμίας Όσιε και πληγάς, υπομένων ανεκραύγαζες˙ ευλογημένος εί, εν τω ναώ της δόξης σου Κύριε.

Ο λογισμός σου, τα του Δεσπότου λογιζόμενος, πάθη και σταυρόν και θάνατον μελετών, αικοζόμενος υπέψαλλες˙ ευλογημένος εί, εν τω ναώ της δόξης σου Κύριε.

Νεκρός εν τάφωμ νόμω θανόντων κατακείμενος, άπνους τω λαλούντι φθέγγει υπερφυώς, ως ου τέθνηκας κραυγάζεις˙ ευλογημένος εί, εν τω ναώ της δόξης σου Κύριε.

Θεοτοκίον.

Αποθανόντας, εν ώ Παρθένε κατειχόμεθα, νόμω την ζωήν τεκούσα την αληθή, εξανέστησας κραυγάζοντας˙ ευλογημένη συ εν γυναιξίν, υπάρχεις πανάμωμε.

Καταβασία: Οι παίδες ευσεβεία.

Ωδή η’. Χείρας εκπετάσας.

Ώριμον εκύησας, καρπόν, εξ ού ο θάνατος φαγών απώλετο, διο κραυγάζω σοι Δέσποινα, τω καρπώ της αμαρτίας με, θανατωθέντα δολερώς, ζώωσον μέλποντα˙ ευλογείτε, πάντα τα έργα Κυρίου τον Κύριον.

Κοίμησον κινήσεις εμπαθείς, της διανοίας μου τη ακοιμήτω σου, πρεσβεία πάναγνε Δέσποινα, και ανάστησον εξ ύπνου με, της ραθυμίας μελωδείν εγρηγορούση ψυχή˙ ευλογείται, πάντα τα έργα Κυρίου τον Κύριον.

Ούχ έξεις ταλαίπωρε ψυχή, εκεί συνήγορον κατηγορούσης σου, της φαύλης πράξεως άμετρα˙ δια τούτο μετανόησον, και συνεργόν προς το καλόν, την μόνην άχραντον προσλαμβάνου˙ μόνη γαρ πέλει βροτών καταφύγιον.

Μαρία κυρία του παντός, κυριεθέντα με υπό του όφεως, και αμαρτάνοντα πάντοτε, ελευθέρωσον πρεσβείαις σου, και καταδούλωσον Χριστώ, εν πολιτεία σεμνή αναμέλπειν˙ πάντα τα έργα υμνείτε τον Κύριον.

Του Οσίου.

Συντόνω ασκήσει τω Θεώ, σοι εξεγένετο κραθήναι Όσιε, δεσμόν του σώματος λύσαντι, και την σάρκα δαπανήσαντι, και θεωρία πρακτική, πάτερ κραυγάζοντι˙ ευλογείτε, πάντα τα έργα Κυρίου τον Κύριον.

Μετά των μαρτύρων του Χριστού, συναριθμούμενος και συντατιόμενος, μη διαλίπης νυν Όσιε, ικετεύων τον φιλάνθρωπον, και δυσωπών υπέρ ημών, των ευφημούντων σε και βοώντων˙ πάντα τα έργα υμνείτε τον Κύριον.

Αθλήσας εννόμως επί γης, την επουράνιον εύρες ανάπαυσιν, συναγαλλόμενος Όσιε, τοις Αγίοις και συμμέτοχος, της

ευφροσύνης και χαράς, τούτων γενόμενος και κραυγάζων˙ πάντα τα έργα υμνείτε τον Κύριον.

Θεοτοκίον.

Σαρκούται ο άσαρκος το πριν, ο Κτίστης κτίζεται, εκ σου πανάμωμε˙ την γάρ πανάχραντον μήτραν σου, υποδύς ο απερίληπτος, περιγραφής σωματικής θέλων ηνέσχετο˙ όθεν σε πάντες ευλογούμεν Μαρία θεόνυμφε.

Καταβασία: Θαύματος υπερφυούς.

Ωδή θ'. Λίθος αχειρότμητος.

Ρήξον τα δεσμά των κακών μου, τη θεία λόγχη του Υιού σου, λύσον την αθλιαν μου ψυχήν πεπεδημένην, και κινδυνεύουσαν, και τη αγάπη πρόσδησον, Παρθενομήτορ του Θεού ημών.

Η των ουρανών πλατυτέρα, την στενωθείσάν μου καρδίαν, πάση προσβολή εναντία, προς απαθείας πλάτος εξάγαγε, δια στενής οδεύειν με, ενδυναμούσα τρίβον πάντοτε.

Ίνα δοξάζω σε Παρθένε, την αληθώς δεδοξασμένην, πάσης αδοξίας με ρύσαι, της αμαρτίας, και δόξης μέτοχον, ουρανίου ποίησον, τον προσφυγόντα τω ελέει σου.

Μετά των αγίων Αγγέλων, μετά των θείων Αποστόλων, μετά των ενδόξων Μαρτύρων, τον σον δυσώπει Υιόν και Κύριον, Θεογεννήτορ Πάναγνε, κινδύνων σώσαι τας ψυχάς ημών.

Του Οσίου.

Ίλεως εχώρησας Πάτερ, προς τον των όλων ευεργέτην, τη της ακακίας καλλονή, κεκοσμημένος και ωραιότητι, των αρετών λαμπόμενος, διο σε πάντες μακαρίζομεν.

Νόμω πειραρχών του Δεσπότου, τον σον υπέκκλινας αυχένα, τη των μοναζόντων παλαίστρα, και νικηφόρος Πάτερ γενόμενος, προς ακακίαν ήλασας, τελειωτάτην παμμακάριστε.

Άσμα τω Θεώ αναπέμπειν, σύν ασωμάτοις ηξιώθης, ως διατηρήσας εκείνων, την πολιτείαν και καθαρότητα, υπομονή των έργων δε, το των μαρτύρων κλέος είληφας.

Δέχου παρ' ημών Θεοφόρε, τον προσφερόμενόν σοι ύμνον, εκ καθαρωτάτης καρδίας, και αντιδίδου ταις ικεσίαις σου, την των πταισμάτων άφεσιν, και σωτηρίαν πανσεβάσμιε.

Θεοτοκίον.

Ως ρίζαν υπάρχουσαν όντως, της αφθαρσίας σε Παρθένε, πάντες οι πιστοί πεπεισμένοι, ταις ευφημίαις καταγεραίρομεν· συ γαρ την ενυπόστατον αθανασίαν ημίν έτεκες.

Καταβασία: Μυστήριον ξένον.

Εξαποστειλάριον. Φως αναλλοίωτον Λόγε.

Ως απαράμμιλον έχων, την ακακίαν παμμάκαρ, εγένου έμπλεως θείων, του Πνεύματος χαρισμάτων, ών και ημίν εντρυφήσαι, δος σαις πρεσβείαις, εκδυσωπούμεν απαύστως.

Θεοτοκίον, όμοιον.

Δείξον υπήκοα σπλάγχνα, πανύμνητε Θεοτόκε, και σώζε τους προσκυνούντας, την άχραντόν σου εικόνα, ότι εις σε τας ελπίδας, έχομεν πάντες, ως ασφαλή προστασίαν.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ.

Ιστώμεν στίχους δ' και ψάλλομεν στιχηρά προσόμοια.

Ήχος α'. Των ουρανίων ταγμάτων.

Των μοναστών αι χορείαι πάσαι συνέλθωμεν, συν πόθω ευφημήσαι, την πανσέβαστον μνήμην, του θείου Ακακίου, του εν μονή Κελλιβάρων αθλήσαντος, και δεξαμένου το στέφος παρά Χριστού, του Σωτήρος των ψυχών ημών. (δις).

Ει και νεκρός εν τω τάφω, άπνους κατέκεισο, άλλ' ώσπερ ζων εφθέγξω, τω λαλούντί σε μάκαρ, υπακοής τους εργάτας ούκ εφικτόν, τελευτήσαι μηδέποτε˙ όθεν καγώ ζων υπάρχω εν τω Χριστώ, και αυτώ συμβουλεύω αεί.

Εν αμελεία βιώσας λίαν παρώργισα, τον ποιητήν ο τάλας, και Θεόν μου και πλάστην, όν εξιλέωσας Πάτερ, ώσπερ πλουτών, προς αυτόν παρρησίαν πολλήν, κατοικτειρήσαι και δούναί μοι δυσωπώ, των πταισμάτων μου την άφεσιν.

Δόξα. Ήχος β'.

Εν πόλει του Θεού ημών, εν όρει αγίω, εκεί κατώκησεν ο θεόφρων˙ ακριβώς γαρ τετηρηκώς την ευαγγελικήν πολιτείαν, φημί δι' οφθαλμών ακρίβειαν, γλώσσης εγκράτειαν, σώματος δουλαγωγίαν, φρόνημα ταπεινόν, εννοίας καθαρότητα, οργής αφανισμόν, και

υπακοήν άκραν, ζων τε και μετά θάνατον. Αγγέλων εγένετο συνόμιλος, και δικαίων ομόσκηνος και Οσίων, πρεσβεύων εκτενώς τω Κυρίω, υπέρ ημών των ευφημούντων αυτόν.

Και νύν. Θετοκοκίον.

Την πάσαν ελπίδα μου εις Σε ανατίθημι, Μήτερ του Θεού, φύλαξόν με υπό την σκέπην Σου.

Δοξολογία Μεγάλη.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τα Τυπικά, και εκ του Κανόνος του Οσίου Η Ωδή γ' και ς'.

ΑΠΟΣΤΟΛΟΣ

Προκείμενον.

Τίμιος εναντίον Κυρίου ο θάνατος του οσίου αυτού.

Στίχ: Μακάριος ανήρ ο φοβούμενος τον Κύριον…

Προς Εβραίους επιστολής Παύλου το ανάγνωσμα.

Αδελφοί, πείθεσθε τοις ηγουμένοις υμών και υπείκετε˙ αυτοί γαρ αγρυπνούσιν υπέρ των ψυχών υμών ως λόγον αποδώσοντες˙ ίνα μετά χαράς τούτο ποιώσι και μη στενάζοντες˙ αλυσιτελές γαρ υμίν τούτο. Προσεύχεσθε περί ημών˙ πεποίθαμεν γαρ ότι καλήν συνείδησιν έχομεν, εν πάσι καλώς θέλοντες αναστρέφεσθαι. Περισσοτέρως δε παρακαλώ τούτο ποιήσαι, ίνα τάχιον αποκατασταθώ υμίν. Ο δε Θεός της ειρήνης, ο αναγαγών εκ νεκρών τον ποιμένα των προβάτων τον μέγαν εν αίματι διαθήκης αιωνίου, τον Κύριον ημών Ιησούν, καταρτίσαι υμάς εν παντί έργω

αγαθώ εις το ποιήσαι το θέλημα αυτού, ποιών εν υμίν το ευάρεστον ενώπιον αυτού δια Ιησού Χριστού, ώ η δόξα εις τους αιώνας των αιώνων˙ αμήν.

ΕΥΑΓΓΕΛΙΟΝ.Εκ του κατά Ματθαίον.

Είπεν ο Κύριος τοις εαυτού Μαθηταίς πάντα μοι παρεδόθη υπό του Πατρός μου˙ και ουδείς επιγινώσκει τον Υιόν, ει μη ο Πατήρ, ουδέ τον Πατέρα τις επιγνώσκει, ει μη ο Υιός και ώ εάν βούληται ο Υιός αποκαλύψαι. Δεύτε προς με πάντες οι κοπιώντες και πεφορτισμένοι, καγώ αναπαύσω υμάς. Άρατε τον ζυγόν μου εφ' υμάς και μάθετε απ' εμού ότι πράός ειμι και ταπεινός τη καρδία, και ευρήσετε ανάπαυσιν ταις ψυχαίς υμών˙ ο γαρ ζυγός μου χρηστός και το φορτίον μου ελαφράν εστιν.

ΜΕΓΑΛΥΝΑΡΙΑ

Δεύτε ανυμνήσωμεν ευλαβώς, Ακάκιον ύμνοις, οι μιγάδες και μονασταί, αγάπης το τέκνον, της ακακίας φίλον, υπακοής τελείας, το μέγα πρότυπον.

Ακάκιον στύλον υποταγής, θυσίας τον πλούτον, ανοχής τον υπογραμμόν, υπόδειγμα θείον, της ταπεινοφροσύνης, και των θαυμάτων κρήνην, ανευφημήσωμεν.

ΚΟΙΝΩΝΙΚΟΝ

Εις μνημόσυνον αιώνιον έσται δίκαιος. Αλληλούια.

